vt tenuiter victum agant. Patet igitur non ſufficere patrimonia exæquata fuiſſe à legiſlatore. Sed medium coniectandum eſſe. Præterea ſi quis mediocria ſtatuat omnibus patrimonia, nulla vtilitas eſt. magis enim cupiditates adæquandæ ſunt quàm patrimonia, hoc autem fieri non poteſt, niſi ſufficienter diſciplina ciuibus adhibita per leges. Sed forſan reſponderet Phaleas, hoc ipſum ſe dicere. Cenſet enim horum duorum æqualitatem ciuitatibus ineſſe debere, patrimonij ſcilicet, ac diſciplinæ, ſed quæ tandem hæc diſciplina ſit exprimendum fuit: & vnam eandémque eſſe, nihil prodeſt. nam fieri poteſt, vt ſit vna eadémque diſciplina, verum eiuſcemodi, per quam cupidi fiant pecuniarum, aut honoris, aut vtriuſque. Inſuper ſeditiones oriuntur, non ſolùm ob patrimoniorum, verumetiam ob honorum inæqualitates, & hoc diuerſum in vtroque, nam multitudo quidem grauiter fert inæqualitatem patrimoniorum. præſtantes autem viri honorum æqualitatem. vnde illud natum eſt:

Honori incumbit tam ignauus, quàm bonus,

Non ſolùm verò homines propter neceſſaria iniuriantur, quorum remedia putant adæquationem patrimoniorum, ne ſpolient alios propter frigus, aut propter famem, verumetiam vt gaudeant, neque concupiſcant. nam ſi maiorem habeant neceſſariorum cupiditatem, ob huius medelam iniurias inferunt. Non ergo ob hanc ſolùm, verumetiam ſi concupiſcant vt moleſtia careant, & voluptate fruantur. Quod igitur horum trium remedium eſt? his quidem exiguum patrimonium & opificium, illis autem temperantia: tertium verò ſi quis velit per illa delectari, non aliunde quàm à philoſophia quærat remedium. nam cæteræ quidem hominibus egent, cùm iniurias inferunt plurimum propter ſuperflua, non propter neceſſaria: puta tyrannidem inuadunt, non vt frigus repellant, quapropter honos maximus habetur, non ei qui furem occiderit, ſed ei qui tyrannum. Itaque Phaleas paruis duntaxat iniuriis hac ſua reipublicæ conſtitutione ſuccurrit. Præterea multa ſtatuere pergit, per quæ ad ſeipſos rectè inſtituti erunt, ſed oportebat quoque ad finitimos, & peregrinos omnes. Neceſſe eſt ergo conſtitutam eſſe rempublicam ad bellicum robur: de quo ille nil dixit. Eodem modo de facultatibus.

A ὥστε ζῆν γλίσχρως. δῆλον οὖν, ὡς οὐχ ἱκανὸν τὸ τὰς οὐσίας ἴσας ποιῆσαι τὸν νομοθέτην, ἀλλὰ τοῦ μέσου στοχαστέον. ἔτι δ', εἴ τις καὶ τὴν μετρίαν τάξειεν οὐσίαν πᾶσιν, οὐδὲν ὄφελος. μᾶλλον γὰρ δεῖ τὰς ἐπιθυμίας ὁμαλίζειν, ἢ τὰς οὐσίας. τοῦτο δ' οὐκ ἔστι μὴ παιδευομένοις ἱκανῶς ὑπὸ τῶν νόμων. ἀλλ' ἴσως εἴποι ἂν ὁ Φαλέας, ὅτι ταῦτα τυγχάνει λέ-
B γων αὐτός· οἴεται γὰρ δυοῖν τούτοιν ἰσότητα δεῖν ὑπάρχειν ταῖς πόλεσι, κτήσεως καὶ παιδείας. ἀλλὰ τήν τε παιδείαν ἥτις ἔσται, δεῖ λέγειν· καὶ τὸ μίαν εἶναι καὶ τὴν αὐτήν, οὐδὲν ὄφελος. ἔστι γὰρ τὴν αὐτὴν μὲν εἶναι καὶ μίαν, ἀλλὰ ταύτην εἶναι τοιαύτην, ἐξ ἧς ἔσονται προαιρετικοὶ τοῦ πλεονεκτεῖν, ἢ χρημάτων, ἢ τιμῆς, ἢ συναμφοτέρων. ἔτι στασιάζουσιν οὐ
C μόνον διὰ τὴν ἀνισότητα τῆς κτήσεως, ἀλλὰ καὶ διὰ τὴν τῶν τιμῶν. τοὐναντίον δὲ περὶ ἑκάτερον· οἱ μὲν γὰρ πολλοὶ, διὰ τὰ περὶ τὰς κτήσεις ἄνισον· οἱ δὲ χαρίεντες, περὶ τῶν τιμῶν, ἐὰν ἴσαι. ὅθεν καὶ

Ἐν δ' ἰῇ τιμῇ ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλός.

οὐ μόνον δ' οἱ ἄνθρωποι διὰ τἀναγκαῖα ἀδικοῦσιν, ὧν ἄκος εἶναι νομίζει τὴν ἰσότητα τῆς
D οὐσίας, ὥστε μὴ λωποδυτεῖν διὰ τὸ ῥιγοῦν ἢ πεινῆν· ἀλλὰ καὶ ὅπως χαίρωσι, καὶ μὴ ἐπιθυμῶσιν. ἐὰν γὰρ μείζω ἔχωσιν ἐπιθυμίαν τῶν ἀναγκαίων, διὰ τὴν ταύτης ἰατρείαν ἀδικήσουσιν. οὐ τοίνυν διὰ ταύτην μόνον, ἀλλὰ καὶ ἂν ἐπιθυμοῖεν, ἵνα χαίρωσι ταῖς ἄνευ λυπῶν ἡδοναῖς. τί οὖν ἄκος τῶν τριῶν τούτων; τοῖς μὲν, οὐσία βραχεῖα καὶ ἐργασία· τοῖς δὲ, σωφροσύνη· τρίτον δ', εἴ τινες βού-
E λοιντο δι' αὑτῶν χαίρειν, οὐκ ἂν ἐπιζητοῖεν, εἰ μὴ παρὰ φιλοσοφίας ἄκος. αἱ γὰρ ἄλλαι, ἀνθρώπων δέονται· ἐπεὶ ἀδικοῦσί γε τὰ μέγιστα διὰ τὰς ὑπερβολάς, ἀλλ' οὐ διὰ τὰ ἀναγκαῖα· οἷον τυραννοῦσιν, οὐχ ἵνα μὴ ῥιγῶσι. διὸ καὶ αἱ τιμαὶ μεγάλαι, ἂν ἀποκτείνῃ τις, οὐ κλέπτην, ἀλλὰ τύραννον. ὥστε πρὸς τὰς μικρὰς ἀδικίας βοηθητικὸς μόνον ὁ τρόπος τῆς
F Φαλέου πολιτείας. ἔτι τὰ πολλὰ βούλεται κατασκευάζειν, ἐξ ὧν τὰ πρὸς αὐτοὺς πολιτεύσονται καλῶς. δεῖ δὲ καὶ πρὸς τοὺς γειτνιῶντας, καὶ τοὺς ἔξωθεν πάντας. ἀναγκαῖον ἄρα τὴν πολιτείαν συντετάχθαι πρὸς τὴν πολεμικὴν ἰσχύν, περὶ ἧς ἐκεῖνος οὐδὲν εἴρηκεν. ὁμοίως δὲ καὶ περὶ τῆς κτήσεως. δεῖ γὰρ